1.1(p.9.7; M.18.40A); σ. πρώτη βίος ἐπαινετὸς καὶ θεῷ κεκαθαρμένος Gr.Naz.*or*.16.2(M.35.936B); σ., καὶ τὸ γινώσκειν ἑαυτόν *ib*.32.21(M.36.200A); **3.** intellectual; **a.** *learning, wisdom* in ethical philosophy or Christian teaching ἡ φρόνησις...ὅταν...ἀποδεικτικῷ λόγῳ βεβαιώσηται, γνῶσίς τε καὶ σ. καὶ ἐπιστήμη ὀνομάζεται Clem.*str*.6.17(p.511.29; M.9.388A); dist. from γνῶσις: *ib*.2.5(p.125.24; M.8.957B); *ib*.7.10(p.40.30ff.; M.9.477C); Olymp.*Eccl*.1:16ff.(M.93.492D); consisting in recognition of one's ignorance τὸ εἰδέναι τινά, ὅτι ἀγνοεῖ τι, σοφίας ἐστί, ὥστε καὶ τὸ εἰδέναι ὅτι ἠδίκησε, δικαιοσύνης Didym.ap.Jo.D.*parall*.(M.96.360D); dist. from φιλοσοφία: σ. φημὶ καὶ φιλοσοφίαν, τὴν μὲν ὡς περιεκτικὴν καὶ πάντας θεοπρεπῶς τοὺς εὐσεβεῖς ἐπ' αὐτῆς λεγομένους ἐπιδεχομένην τρόπους, καὶ τοὺς περὶ τῶν ἄλλων ἐντὸς ἑαυτῆς μυστικούς τε καὶ φυσικοὺς περικλείουσαν λόγους, τὴν δὲ ὡς ἤθους καὶ γνώμης, πράξεώς τε καὶ θεωρίας, καὶ ἀρετῆς καὶ γνώσεως συνεκτικήν, καὶ οἰκειότητι σχετικῇ πρὸς τὴν σ. ὡς αἰτίαν ἀναφερομένην Max.*ambig*.(M.91.1136D); Stoic definition τὴν φιλοσοφίαν φασὶν ἐπιτήδευσιν εἶναι σοφίας, τὴν δὲ σ. ἐπιστήμην θείων τε καὶ ἀνθρωπίνων πραγμάτων adopted by Philo (*cong*.14) alluded to by Clem. ἔστι γὰρ φιλοσοφία ἐπιτήδευσις σοφίας, σ. δὲ ἐπιστήμη θείων καὶ ἀνθρωπίνων καὶ τῶν τούτων αἰτίων *str*.1.5(p.19.15; M.8.721B); Or.*Cels*.3.72(p.263.25; M.11.1013C); Eus.*l.C*.proem.(p.195.17; M.20.1317A); Bas.*hom*.12.3(2.99E; M.31.389C); Gr.Naz.*or*.30.20(p.139.13; M.36.129A); ‡Proc.G.*Pr*.31:29(M.87.1544A); Olymp.*Eccl*.1:16(M.93.492D); **b.** sophistic sense, *eloquence*, disapproved, Thdt.*1Cor*.2:5f.(3.175); id.*2Cor*.1:12(3.292); since when robbed of ethical or spiritual content it becomes vain, spurious, or 'carnal' wisdom τῆς νόθου σ. ἔλεγχε, τῆς ἐν λόγῳ κειμένης Gr.Naz.*or*.25.2(M.35.1200A); *ib*.16.3(937A); Chrys.*hom.7.1 in 1Cor*.(10.49E–50C); οὐκ ἐν κακουργίᾳ...ἢ ἐν συμπλοκῇ σοφισμάτων· ταύτην γὰρ λέγει σ. σαρκικὴν id.*hom.3.1 in 2Cor*.(10.442B); Olymp.*Eccl*.7:26f.(M.93.572Cf.); Germ.CP *vit.term*.1(M.98.89B); opp. grace οὐ γὰρ...ἐν σ., ἀλλ' ἐν τῇ χάριτι τοῦ θεοῦ ἐστιν ἡ σωτηρία Bas.*hom.in Ps*.33(1.144D; M.29.353C); ref. Gnosticism ἡ παμποίκιλος σ. Πειρατικῆς αἱρέσεως Hipp.*haer*.5.17(p.114.11; M.16.3175B); of idolatry σ. ἄσοφος Clem.*prot*.5(p.49.7; M.8.165A); Gr.Naz.*or*.4.3(M.35.533B); **4.** *wisdom* as spiritual quality, a gift ὁ κύριος ἡμῶν...ὁ σ. καὶ νοῦν θέμενος ἐν ἡμῖν τῶν κρυφίων αὐτοῦ *Barn*.6.10; cf. *ib*.21.5; ἐπὶ τὴν ἀληθῆ σ. ἥτις ἐστὶ δύναμις θεία τῶν ὄντων ὡς ὄντων γνωστική...παντὸς πάθους ἀπηλλαγμένη, οὐκ ἄνευ τοῦ σωτῆρος Clem.*str*.1.28(p.109.19; M.8.924B); classed as a virtue, Or.*Cels*.8.17(p.235.2; M.11.1544A); gift of H. Ghost, id.*sel.in Ps*.118:131(M.12.1616D); *Const.App*.6.27.5; Cosm.Ind.*top*.proem.1(M.88.52A); one of the seven gifts of Is.11:2, Gr.Naz.*or*.31.29(p.183.5; M.36.165C); cf.*ib*.41.9(441C); Didym.*Trin*.2.3(M.39.467A); Cyr.*Is*.2.1(2.193B); cf.Or.*hom.3.1 in Is*.(M.13.227D); its character and scope τὴν δὲ σ. ἔμπεδον γνῶσιν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, κατάληψίν τινα βεβαίαν οὖσαν καὶ ἀμετάπτωτον, συνειληφυῖαν τά τε ὄντα καὶ τὰ παρῳχηκότα καὶ τὰ μέλλοντα, ἣν ἐδιδάξατο ἡμᾶς διά τε τῆς παρουσίας διά τε τῶν προφητῶν ὁ κύριος καὶ ἔστι ἀμετάπτωτος ὑπὸ λόγου, παραδοθεῖσα τῇ αὐτῇ...βουλήσει...ἡ μὲν αἰώνιός ἐστιν, ἡ δὲ χρόνῳ λυσιτελής Clem.*str*.6.7(p.459.8ff.; M.9.277A); means to knowledge of God, Bas.*hom*.12.3(2.99B,C; M.31.389C–392A); not found in soul of evil-doer, Gr.Nyss.*deit*.(M.46.556D); in its highest form following after divine wisdom, id.*hom.5 in Eccl*.(M.44.681A); its activity twofold διπλῆ ἡ τῆς σ. ἐνέργεια, καὶ ἡ μέν ἐστιν ἐρευνητική τε καὶ ζητητικὴ τῶν συμφερόντων, ἡ δὲ φυλακτικὴ τῶν εὑρεθέντων id.*Pss.titt*.A 8(M.44.481A); a unity with numerous and varied manifestations, ref. Mt.23:37 δίς, διά τε προφητῶν καὶ διὰ τῆς παρουσίας. πολύτροπον μὲν οὖν τὴν σ. ἡ 'ποσάκις' ἐνδείκνυται λέξις, καὶ καθ' ἕνα ἕκαστον τρόπον ποιότητός τε καὶ ποσότητος πάντως σῴζει τινὰς ἔν τε τῷ χρόνῳ ἔν τε τῷ αἰῶνι Clem.*str*.1.5(p.18.22; M.8.720B); cf.*ib*.1.4(p.17.16; 717A); ἡ σ. μονάς ἐστι, ταῖς ἐξ αὐτῆς διαφόροις ἀρεταῖς ἀτμήτως ἐνθεωρουμένη Max.*cap*.3.44(M.90.1280A) = id.*qu.Thal*.54(M.90.533C); having its end in unbroken contemplation, Clem.*str*.6.7(p.462.31; M.9.284A); the end of speculative activity of soul as the good is of practical, Max.*qu.Thal*.54(528A,B); itself the bond of union with God, id.*cap*.3.41(M.90.1277C); bestowing the power of edifying others, Hipp.*fr.16 in Pr*.9:12(p.162.18; M.10.620C); Max.*qu.Thal*.54(533A); rel. to philosophy κυρία τοίνυν ἡ σ. τῆς φιλοσοφίας ὡς ἐκείνη τῆς προπαιδείας Clem.*str*.1.5(p.19.17; M.8.721B); rel. to prophecy, Gr.Nyss.*Eun*.3(2 p.15.31f.; M.45.580C); opp. φρόνησις: δύο...μερίδες φιλοσοφίας, θεωρία καὶ πρᾶξις· καὶ δῆτα δύο δυνάμεις. ἑκατέρα παρ' ἑκατέραν μερίδα, σ. καὶ φρόνησις. αὕτη μὲν δεομένη τύχης· σ. δὲ αὐτάρκης, καὶ ἀκώλυτος ἡ κατ' ἐκείνην ἐνέργεια Synes.*ep*.103(M.66.1476D); rel. to gift of fear, Max.*cap*.3.61(1288C) = id.*qu.Thal*.55(576C).

**B.** Gnost.; *wisdom* as aeon; **a.** implanter of spiritual seed in Adam, Clem.*exc.Thdot*.53.2(p.124.19ff.; M.9.684C–685A); **b.** together with Theletos, last pair of thirty aeons in Valent. pleroma, Iren.*haer*.1.1.2(M.7.449B); Hipp.*haer*.6.30(p.157.22; M.16.3239A); cf. Epiph. who sets out dodecad before decad and pairs with Ecclesiasticus, *haer*.31.2(p.386.4; M.41.477A); her yearning and fall, Iren.*haer*.1.2.2f.(453A–456A); Hipp.*haer*.6.30(p.157.24ff.; 3239A,B); her restoration, Iren.*haer*.1.2.4(460A); Hipp.*haer*.6.31(p.158.20ff.; 3239C); **c.** name also given to offspring of Sophia, Iren.*haer*.1.4.1(480B); Hipp.*haer*.6.31(p.159.18ff.; 3242B).

**C.** divine wisdom; **1.** as divine attribute; **a.** in Godhead, Herm.*vis*.1.3.4; σὺ γὰρ εἶ ἡ ἄναρχος γνῶσις...ἡ ἀδίδακτος σ. *Lit*.ap.*Const.App*.8.12.7; εἰ δὲ καὶ ὑπὲρ πάντα τὰ ὄντα ἐστὶν...τἀγαθόν, καὶ τὸ ἀνείδεον εἰδοποιεῖ...καὶ τὸ ἄνουν ὑπερέχουσα σ. Dion.Ar.*d.n*.4.3(M.3.697A); *ib*.7.1(865B); in which all things are known to God ἑαυτὴν οὖν ἡ θεία σ. γινώσκουσα, γνώσεται πάντα *ib*.7.2(869B); **b.** in rel. to creation; source of all created knowledge θεόσδοτος...ἡ σ., δύναμις οὖσα τοῦ πατρός Clem.*str*.5.13(p.381.29; M.9.125A); σ. ἥτις ἐστὶν ἡ μεταδοθεῖσα ἡμῖν ἄνωθεν φρόνησις καὶ νουνεχία, καὶ λόγων ἀρετή Didym.*Trin*.3.2(M.39.809A); ταύτην...τὴν ἄλογον καὶ ἄνουν καὶ μωρὰν σ. ... εἴπωμεν ὅτι παντός ἐστι νοῦ, καὶ λόγου, καὶ πάσης σ., καὶ συνέσεως αἰτία Dion.Ar.*d.n*.7.1(M.3.868A); itself one, taking manifold forms among men, Clem.*str*.6.18(p.517.28f.; M.9.400A); τὴν σ. τοῦ θεοῦ 'πολυμερῶς καὶ πολυτρόπως' διὰ τέχνης, διὰ ἐπιστήμης, διὰ πίστεως, διὰ προφητείας, τὴν ἑαυτῆς ἐνδεικνυμένην δύναμιν εἰς τὴν ἡμετέραν εὐεργεσίαν *ib*.1.4(p.17.16; M.8.717A); from the intellections of angels to sense perception, even Devil's intellect so far as it is not mere defection, Dion.Ar.*d.n*.7.2(M.3.868B,C); how predicated of God, Max.*schol.c.h*.15.4(M.4.109A); **2.** in rel. to H. Ghost; **a.** identified with third Person of Trin. τὸν ἑαυτοῦ λόγον ἐνδιάθετον ...μετὰ τῆς ἑαυτοῦ σ. ἐξερευξάμενος πρὸ τῶν ὅλων Thphl.Ant.*Autol*.2.10(M.6.1064C); τῆς τριάδος, τοῦ θεοῦ καὶ τοῦ λόγου αὐτοῦ καὶ τῆς σ. αὐτοῦ *ib*.2.15(1077B); cf. *sua progenies et figuratio sua, id est filius et spiritus sanctus, verbum et sapientia*, Iren.*haer*.4.7.4(M.7.993A); **b.** as creator Spirit, Thphl.Ant.*Autol*.1.7(1036A); οὐκ ἄλλῳ δέ τινι εἴρηκε 'ποιήσωμεν' ἀλλ' ἢ τῷ ἑαυτοῦ λόγῳ καὶ τῇ ἑαυτοῦ σ. *ib*.2.18(1081B); cf. *adest enim ei semper verbum et sapientia, filius et spiritus...ad quos et loquitur dicens: faciamus*, etc., Iren.*haer*.4.20.1(1032B); Hipp.*Noët*.10(p.251.22; M.10.817B) cit. s. λόγος; cf. *omnia verbo fecit et sapientia adornavit*, Iren.*haer*.4.20.2(1033B); *verbo suo confirmans et sapientia compingens omnia*, *ib*.3.24.2(967B); cf. εἷς ἐστιν ὁ τῇ αὐτοῦ σ. εἰπὼν 'ποιήσωμεν ἄνθρωπον'. ἡ δὲ σ. ᾗ ὥσπερ ἰδίῳ πνεύματι αὐτὸς ἀεὶ συνέχαιρεν ἥνωται μὲν ὡς ψυχὴ τῷ θεῷ ἐκτείνεται δὲ...ὡς χεὶρ δημιουργήσασα τὸ πᾶν *Hom.Clem*.16.12; **c.** Valent., ref. Inc., Hipp.*haer*.6.35(p.164.19; M.16.3247C); **3.** of Son; **a.** title of second Person of Trin., Just.*dial*.61.1(M.6.613C) cit. s. δύναμις; *ib*.100.4(616A); Clem.*prot*.8(p.61.18; M.8.192A); τὴν σ. ... διссῶς ἐπιλαβεῖν, τὴν ἐκ πνεύματος ἁγίου...δι' ἧς...ἡ ἐπίγνωσις τοῦ θεοῦ τῷ κόσμῳ ἐγνωρίσθη· ὡσαύτως δὲ καὶ τὸν ἐνυπόστατον υἱὸν τοῦ θεοῦ Or.*exp.in Pr*.9:1(M.17.185B); Ath.*Ar*.1.9(M.26.28D); *ib*.3.65(461A); as alone comprehending God, Or.*Jo*.1.34(39; p.43.19,28f.; M.14.89B,C); not relatively but essentially, *ib*.(p.44.8ff.; 92A); υἱὸς...κατ' οὐσίαν τε ὑφεστὼς οἷα θεοῦ δύναμις καὶ θεοῦ σ. ... λόγου καὶ σ. καὶ φωτὸς...ἐκ τοῦ οἰκείου πληρώματος τοῖς πᾶσιν ἐπιλιμνάζων Eus.*l.C*.12(p.230.22ff.; M.20.1388C); id.*d.e*.5.8(p.230.26; M.22.381A), id.*p.e*.7.12(320D; M.21.541B) citt. s. λόγος; τὴν ζωὴν καὶ τὴν σ. μήτε ξένα τῆς οὐσίας τῆς πηγῆς εἶναι, ἀλλ' ἴδια, μήτε ἀνύπαρκτά ποτε εἶναι, ἀλλ' ἀεὶ εἶναι. ἔστι δὲ ταῦτα ὁ υἱός Ath.*Ar*.1.19(M.26.52A); *ib*.(53A); rel. to Logos δημιουργὸς δὲ ὁ Χριστὸς ὡς ἀρχή, καθ' ὃ σ. ἐστιν...κατὰ μὲν τὴν σύστασιν τῆς περὶ τῶν ὅλων θεωρίας καὶ νοημάτων, τῆς σ. νοουμένης, κατὰ δὲ τὴν πρὸς τὰ λογικὰ κοινωνίαν τῶν τεθεωρημένων, τοῦ λόγου λαμβανομένου Or.*Jo*.1.19(22; p.23.19ff.; M.14.56B); **b.** himself the wisdom of Father αὕτη...ἦν ⟨ἡ⟩ σ. 'ᾗ προσέχαιρεν' ὁ παντοκράτωρ θεὸς...λόγος τοῦ πατρός, καὶ σ. αὐτοῦ Clem.*str*.7.2(p.7.12; M.9.412A); Ath.*Ar*.1.28(M.26.69B); τὸ ἀπαύγασμα χωρισθῆναι ἀμήχανον τοῦ φωτός, καὶ τὴν σ. τοῦ σοφοῦ, τουτέστι τὸν υἱὸν ἀπὸ τοῦ πατρός Didym.*Trin*.2.6(M.39.549B); *ib*.3.3(813B); Cyr.*Jo*.1.3(4.21A); more precisely σ. ὅλος ὁ θεός, οὐκοῦν σ. ὁ υἱὸς ἐκ σ. Epiph.*anc*.70(p.88.2; M.43.145D); ‡Caes.Naz.*dial*.20(M.38.876); a favourite argument for his eternity, Or.*princ*.4.4.1(p.350.2; M.11.402B n.44); Dion.R.ap.Ath.*decr*.26(p.22.22; M.25.464B), Dion.Al.ap.eund.*Dion*.15(p.57.2; M.25.501C) citt. s. δύναμις; Alex.Al.*ep.encycl*.4(p.9.5; M.18.576B); Didym.(‡Bas.) *Eun*.4(1.287A; M.29.689B); Cyr.*dial.Trin*.4(5[1].539B–E); **c.** with hypostatic existence, Just.*dial*.61.3(M.6.616A) cit. s. δύναμις; Athenag.*leg*.24.1(M.6.945B) cit. s. ἑνόω; Thphl.Ant.*Autol*.2.10(M.6.1064C) cit. s. δύναμις; τῶν ὄντων ἁπάντων πρῶτον ὑφίστησιν αὐτοῦ γέννημα τὴν πρωτότοκον σ. ... μᾶλλον δὲ...αὐτοσοφίαν Eus.*d.e*.4.2(p.151.31; M.22.253A); τὴν σ. θεοῦ καὶ τὴν δύναμιν, καὶ τὴν δικαιοσύνην ἐνυπόστατον

Cyr.H.*catech*.4.7; ἡ...σ. τοῦ πατρὸς ὁ ἐνυπόστατος θεὸς λόγος Epiph.*haer*.69.21(p.171.3; M.42.236A); οὐ μόνον ἐστὶν υἱός, ἀλλὰ καὶ δύναμις καὶ σ. ... ἵνα ἀπὸ τοῦ εἶναι υἱός, τὸ ἐνυπόστατον νοηθῇ ‡Ath.*dial.Trin.*2.2(M.28.1160C); **d.** agent in Creation τὰ σύμπαντα γεγονέναι κατὰ τοὺς ἐν τῇ σ. προτρανωθέντας ὑπὸ θεοῦ τῶν ἐσομένων λόγους...κτίσας ...ἔμψυχον σ. ὁ θεὸς αὐτῇ ἐπέτρεψεν ἀπὸ τῶν ἐν αὐτῇ τύπων τοῖς οὖσι καὶ τῇ ὕλῃ παρασχεῖν τὴν ὕπαρξιν Or.*Jo*.1.19(22; p.24.7ff.; M.14.56D); πάντα γεννῶσαν τὴν πρωτόγονον σ. τοῦ θεοῦ Meth.*res*.2.9(p.348.20; M.18.288C); Gr.Nyss.*hom.5 in Eccl.*(M.44.681A); id.*Eun*.2(2 p.323.24; M.45.497B) cit. s. δύναμις; ὁ δὲ ποιήσας τὴν γῆν ἐκ μὴ γῆς...μονογενής ἐστιν υἱὸς λόγος τοῦ θεοῦ...καὶ θεοῦ σ. Didym.*Trin.*3.3(M.39.809B); **e.** who became incarnate, Meth.*symp*.3.4(p.30.21; M.18.68A) cit. s. ἄνθρωπος; Ath.*Ar*.2.44(M.26.241B); σάββατον ὥρισας...εἰς μνήμην...τῆς ὑπὸ σοῦ κτισθείσης σ.· ὡς δι' ἡμᾶς γένεσιν ὑπέστη τὴν διὰ γυναικός *Const.App*.7.36.1; χαῖρε, σ. θεοῦ δοχεῖον †Serg.*hymn.acath*.204(p.145; M.92.1344C); καὶ ἐπεσκίασεν ἐπ' αὐτὴν ἡ τοῦ θεοῦ...ἐνυπόστατος σ. καὶ δύναμις, ὁ υἱὸς τοῦ θεοῦ Jo.D.*f.o.*3.2(M.94.985B); also divine agent in normal human conception, *Dial.Ath.et Zacch*.22; **f.** of incarnate Son in his divine nature Χριστός...ἐστιν...τοῦ θεοῦ πατρὸς ἡμῶν ἡ ἀνωτάτω καὶ ἐνυπόστατος σ. καὶ λόγος Or.*adnot.in Dt*.16: 19f.(M.17.28B); παρεληλύθει...ἡ γενεὰ ἐκείνη τῶν αὐταῖς ἀκοαῖς τῆς ἐνθέου σ. ἐπακοῦσαι κατηξιωμένων Eus.*h.e*.3.32.8(M.20.284C); εἰ δὲ δὴ καὶ ἀσθενείας εἶδος περιάπτειν αὐτῷ προσῆκον ἦν τῷ ἀνθρώπῳ ταῦτα προσαρτᾶν ἀκόλουθον εἶναι φαίη τις ἄν, οὔτι γε δὴ...τῷ ἀξιώματι τῆς ἀνωτάτω σ. Eust.ap.Thdt.*eran*.3(4.236); τὸ μὲν γὰρ σῶμα μετάρσιον ἐσταυροῦτο, τὸ δὲ θεῖον τῆς σ. πνεῦμα...πάντα ὁμοῦ συνήθως οἷα θεὸς ἔπραττεν *ib.*; *ib.*(237); τί οὖν [sc. ἔφη] ἡ ἄπειρος σ.; Chrys.*hom.30.2 in Mt.*(7.349E); μόνη τοῦ θεοῦ σοφίαν κυήσασα τὴν ἐνυπόστατον...θεοτόκε ‡Sophr.H.*triod*.(M.87.3880A); ἡ ὄντως κατὰ φύσιν τοῦ θεοῦ...σ. ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός Const.VI Imp.*sacr*.(H.4.36C); **g.** acc. Paul. Sam., a divine attribute without hypostasis, Epiph.*haer*.65.3(p.5.15f.; M.42.16A); inspiring the man Christ ὁ λόγος μείζων ἦν τοῦ Χριστοῦ. ὁ Χριστὸς γὰρ διὰ σοφίας μέγας ἐγένετο Paul.Sam.*fr*.4(p.331.4)ap.Justn.*monoph*.(M.86.1117D); in an altogether unique manner yet not so as to make him divine ἵνα μήτε ὁ ἐκ Δαβὶδ χρισθεὶς ἀλλότριος ᾖ τῆς σ., μήτε ἡ σ. ἐν ἄλλῳ οὕτως οἰκῇ. καὶ γὰρ ἐν τοῖς προφήταις ἦν, μᾶλλον δὲ ἐν Μωσεῖ...μᾶλλον δὲ ἐν Χριστῷ ὡς ἐν ναῷ *ib*.6(p.331.15ff.) ap.Leont.B.*Nest.et Eut*.3(M.86.1392A); εἰ δὲ υἱὸς ὁ Ἰησοῦς Χριστὸς τοῦ θεοῦ, υἱὸς δὲ καὶ ἡ σ., καὶ ἄλλο μὲν ἡ σ., ἄλλο δὲ Ἰησοῦς Χριστός, δύο ὑφίστανται υἱοί *ib*.10(p.333.2f.)*ib*.(1393B); its nature precluding essential connexion with what is human οὐ γὰρ συγγεγενῆσθαι τῷ ἀνθρωπίνῳ τὴν σ. οὐσιωδῶς, ἀλλὰ κατὰ ποιότητα *ib*.7(p.332.5f.)*ib*.(1393A); **h.** Arian: ποίημα ὁ υἱός, οὔτε δὲ ὅμοιος κατ' οὐσίαν τῷ πατρί ἐστιν...οὔτε ἀληθινὴ σ. αὐτοῦ ἐστιν...καταχρηστικῶς δὲ λέγεται ...σ. Ar.*Thal.fr*.16 ap.Ath.*decr*.6(p.5.28f.; M.25.433B); δύο γοῦν σ. φησὶν [sc. Ἄρειος] εἶναι, μίαν μὲν τὴν ἰδίαν καὶ συνυπάρχουσαν τῷ θεῷ, τὸν δὲ υἱὸν ἐν ταύτῃ τῇ σ. γεγενῆσθαι, καὶ ταύτης μετέχοντα ὠνομάσθαι μόνον σ. καὶ λόγον. ἡ σ. γάρ, φησί, τῇ σ. ὑπῆρξε σοφοῦ θεοῦ θελήσει Ath.*Ar*.1.5(M.26.21B); **i.** Apollinarian: εἰ μὴ νοῦς ἔνσαρκός ἐστιν ὁ κύριος, σ. ἂν εἴη φωτίζουσα νοῦν ἀνθρώπου. αὕτη δὲ καὶ ἐν πᾶσιν ἀνθρώποις Apoll.*fr*.70(p.220.28)ap.Gr.Nyss.*Apoll*.36(M.45.1204C); εἰ μὴ νοῦς ἔνσαρκος γέγονεν ὁ λόγος, ἀλλὰ σ. ἦν ἐν τῷ νῷ, οὐ κατέβη ὁ κύριος οὐδὲ ἐκένωσεν ἑαυτόν Apoll.*fr*.71(p.221.14)*ib*.37(1205D); ἑνοῦται ἄρα τὰ τοῦ θεοῦ καὶ σώματος, δημιουργὸς προσκυνητὸς σ. καὶ δύναμις ὑπάρχων αἰώνιος· ἀπὸ θεότητος ταῦτα. υἱὸς Μαρίας ἐπ' ἐσχάτου χρόνου τεχθεὶς προσκυνῶν θεὸν σοφίᾳ προσκόπτων δυνάμει κρατιούμενος· ταῦτα ἀπὸ σώματος Apoll.*fr*.125(p.238.2)ap. Thdt.*eran*.2(4.170); from which body of the Word was formed εἰπεῖν...τὸ σῶμα τῆς τοῦ λόγου θεότητος...συναΐδιον αὐτῷ...ἐπειδὴ ἐκ τῆς οὐσίας τῆς σ. συνέστη Ath.*ep.Epict*.2(p.5.10; M.26.1053B); **4.** divine wisdom revealed in scripture: in prophets, Job, and Proverbs, *Const.App*.1.6.4; in Proverbs, Clem.*str*.2.18(p.156.15; M.8.1021A); ‡Chrys.*hom.in Ps.100*(5.639B); CTrull.*can*.100; in Wisdom of Solomon, Meth.*res*.1.36(p.276.5; M.41.1101A); Ath.*gent*.9(M.25.20D); Didym.*Trin*.2.20,26(M.39.740D,752B); **5.** as literary title (sts. ass. πανάρετος); **a.** of Proverbs, Just.*dial*.129.3(M.6.777A); Mel.*fr*.3(p.309; M.5.1216A); Eus.*h.e*.4.22.9(M.20.384A); *Const.App.*1.7.1; ὁ...θεῖος Σολομὼν ἐν τῇ παιδαγωγικῇ σ., ταῖς Παροιμίαις λέγω Gr.Naz.*or*.8.9(M.35.797C); **b.** of Ecclesiasticus, Or.*Cels*.6.7(p.77.12; M.11.1300A); Ἰησοῦς ὁ τοῦ Σιρὰχ...ὁ τὴν καλουμένην πανάρετον Σ. συντάξας Eus.*d.e*.8.2(p.380.15; M.22.616C); αἱ...δύο βίβλοι ἤτε τοῦ Σολομῶντος, ἡ πανάρετος λεγομένη, καὶ ἡ τοῦ Ἰησοῦ τοῦ υἱοῦ Σιρὰχ ἐκγόνου δὲ τοῦ Ἰησοῦ τοῦ καὶ Σ. Ἑβραϊστὶ γράψαντος Epiph.*mens*.4(M.43.244C); **c.** of Wisdom, Or.*Jo*.20.5(p.332.29; M.14.584B); Meth.*symp*.1.3(p.12.5; M.18.44B); καθὼς φησί που τῆς πανάρετου σ. ὁ λόγος Gr.Nyss.*Eun*.8(2 p.198.22; M.45.793D); **6.** as dedication of churches ὁ βασιλεὺς τὴν μεγάλην ἐκκλησίαν ἔκτιζεν, ἥτις Σ. μὲν προσαγορεύεται νῦν Socr.*h.e*.2.16.16(M.67.217B); ἐνταῦθα πλησίον τοῦ Φάρου, ἀνάμεσον τῆς ἁγίας Σ. καὶ τοῦ ἁγίου Φαύστου Jo.Mosch.*prat*.106(M.87.2965A).

**D.** liturg., exclamation calling for *devout attention* before scripture lections, *Lit.Chrys*.(p.368.24; M.63.909); †Jo.Jej.*poenit*.(M.88.1900C); or creed τὰς θύρας, τὰς θύρας ἐν σ. πρόσχωμεν *Lit.Chrys.*(p.383.4; M.63.915); or in other places, ‡Sophr.H.*liturg*.20(M.87.4000D); *Lit.Chrys*.(pp.375.24,376.22; M.63.912).

**σοφίζ-ω, A.** act. and pass., *make wise, instruct* Ἰησοῦν Χριστὸν τὸν θεὸν τὸν...ὑμᾶς σοφίσαντα Ign.*Smyrn*.1.1; *T.Sal*.7.4(M.122.1325C); Serap.*euch*.14.2; also with evil intent παρέβησαν, ὅτι ἄγγελος πονηρὸς ἐσόφιζεν αὐτούς *Barn*.9.4; pass., *be made wise* (*in*); *become skilled* ὁ Χριστιανὸς ἐσοφίσθη τὴν ἐντολὴν τοῦ θεοῦ Or.*Ps*.118: 98(M.12.1605D); Gr.Nyss.*hex*.2(M.44.64B).

**B.** med. and pass.; **1.** *contrive cunningly* (in good sense); a labyrinth, Gr.Thaum.*pan.Or*.14(p.32.23; M.10.1092C); ref. anonymity of Heb. ἐσοφίσατο διὰ τοῦ κρύψαι τὸ ὄνομα τὴν ἀκρόασιν τὴν ἐκείνων Chrys.*hom.1.1 in Rom*.(9.429D); διὰ γραμμάτων ~εσθαι παρουσίας ἡδονήν id.*ep*.143(3.684B); (in bad sense) ὁ τῆς ἀληθείας ὅρος... οὐ Χαλδαίων...περιεργίᾳ σοφισθείς Hipp.*haer*.10.5(p.265.13; M.16.3414A); ἐσοφίσαντο...κατὰ τοῦ κυρίου βούλευμα Bas.*hom.20.2*(2.158C; M.31.529A); ἐσοφίσατο [sc. ὁ Ἡρώδης] τοῦ ἀποκτεῖναι αὐτόν *A.Jo.Bapt*.7(p.532.8); **2.** *deal subtly with, deceive*, Just.*1apol*.14.4(M.6.348C); Or.*fr.33 in Jo*.(p.509.10); *outwit* ὁ κύριος τὸν διάβολον...~εται Clem.*str*.1.9(p.29.29; M.8.741B); *counteract by a device, beguile* (with good intent) ~εσθαι τὸ λυποῦν...παραμυθίας ῥήμασιν Gr.Naz.*or*.21.17(M.35.1101A); διὰ τῶν γραμμάτων ~ομαι τὸ ποθούμενον Thdt.*ep*.127(4.1212); Bas.Sel.*or*.7.2(M.85.109B); *pervert* δόγματα ...ἀμαθῶς σοφισάμενοι Clem.*str*.1.17(p.56.5; M.8.801A); ~εται... τὴν ἀλήθειαν *ib*.3.12(p.233.1; 1181B); *doctor* the hair, Clem.*paed*.3.3(p.246.5; M.8.577C); *assume an appearance of, counterfeit*, Gr.Nyss.*v.Mos*.18(M.44.305A); Chrys.*Thdr*.1.13(1.20C).

**C.** med. intrans.; **1.** *show wisdom*, Gr.Naz.*or*.28.21(p.53.5; M.36.53B); Jo.Eleem.*v.Tych*.10(p.120); *make a display of wisdom* ἃ ~όμενοι οἱ ἄνθρωποι ὡς ἀνθρώπινα γελῶσι Ath.*inc*.1.2(M.25.97B); *teach wisdom* τῆς ἀρετῆς...~ομένης τὸν γνώριμον Nil.*Magn*.58(M.79.1045B); **2.** *reason falsely*; *practise evasion*; *quibble*, in argument πεπλάνησαι, ὦ Ἰσραήλ, τοιαῦτα ~όμενος ἐπὶ τῇ τοῦ κυρίου σφαγῇ Mel.*pass*.72 p.12.18; Clem.*str*.2.7(p.130.13; M.8.968B); *ib*.6.16(p.508.13; M.9.380B); Meth.*symp*.10.2(p.122.16; M.18.193B); *trifle with*, of usurer giving alms μὴ ~ου τὸν νόμον Chrys.*hom.56.6 in Mt*.(7.574B); (of one deferring baptism) ~όμενος τοῦ θεοῦ τὴν φιλανθρωπίαν Chrys.*hom.1.6 in Ac*.(9.11D).

**σοφισμός, ὁ,** = σόφισμα; **1.** *sophism, specious argument*, *Hom.Clem*.2.9; **2.** *clever device, artifice*, Isid.Pel.ap.*cat.Mt*.10: 16(p.77.2); id.*epp*.1.461(M.78.436C).

**σοφιστεία, ἡ,** *wisdom* ἐν οἷς [sc. prophets, Job, and Proverbs] πάσης ποιήσεως καὶ σ. πλείονα ἀγχίνοιαν εὑρήσεις *Const.App*.1.6.4.

**σοφίστευμα, τό,** = σόφισμα, *sophism, specious but fallacious argument*, Hipp.*haer*.7.14(p.191.18; M.16.3295B).

**σοφιστήριον, τό,** *school of sophistry*, Clem.*prot*.2(p.11.7; M.8.69B).

**σοφιστικός, 1.** *rhetorical* (in good sense), Synes.*Dion* 1(p.234.4; M.66.1112D); **2.** *containing wisdom*; of books of prophets, Job, and Proverbs, *Const.App*.1.6.4.

***σοφιστομανέω,** *have a passion for sophistry*, Gr.Naz.*or*.43.15(M.36.513D); Isid.Pel.*epp*.3.87(M.78.792C).

***σοφιστότακτος,** ? *ordained by wisdom, wisely ordered*, ‡Chrys.*ador*.2(11.824B).

***σοφοδότις,** *giving wisdom* τὴν οὐσιοποιόν, καὶ ζωοποιόν, καὶ σοφοδότιν αἰτίαν Dion.Ar.*d.n*.5.2(M.3.816C).

***σοφόδωρος,** *giving wisdom*; of divine power, Dion.Ar.*d.n*.2.7(M.3.645A).

***σοφοποιέω,** *make wise*, Dion.Ar.*e.h*.5.1.2(M.3.501B).

***σοφοποίησις, ἡ,** *making wise, bestowal of wisdom*, Dion.Ar.*d.n.*2 5(M.3.644A).

***σοφοποιΐα, ἡ,** *making wise, bestowal of wisdom* τῆς θεαρχικῆς... σ. Dion.Ar.*c.h*.14(M.3.321A).

***σοφοποιός,** *making wise, imparting wisdom* τῶν χερουβὶμ...τῆς σ. μεταδόσεως ἀναπεπλασμένον Dion.Ar.*c.h*.7.1(M.3.205C); τῆς...σ. θεαρχίας id.*e.h*.7.3.11(M.3.568A).

**σοφός,** *wise*; **1.** of God, as Wisdom σ. ... ὁ θεὸς μόνος, ἀφ' οὗ ἡ σοφία Clem.*paed*.1.10(p.145.24; M.8.361A); μόνον τὸ θεῖον σ. εἶναι φύσει id.*str*.2.9(p.136.27; M.8.980C); ὁ ἀδιδάκτως σ. Bas.*Spir*.20(3.17E; M.32.104C); Didym.*Trin*.2.19(M.39.549B); of his acts ὁ σ. ἐν

τῷ κτίζειν 1Clem.60.1; his will, Diogn.8.10; his revelation (ref. Proverbs) ἡ σ. βίβλος †Dion.Al.fr.4 in Job(p.206.11); 2. of inspired men; a. OT heroes, Daniel, Bas.Eun.3.1(1.273A; M.29.657A); Esther, ib.2.19(254D; M.612B); Judith, Const.App.3.7.6; esp. authors of Wisdom Books: Solomon, Or.Cels.3.45(p.241.1; M.11.977C); Cosm. Ind.top.2(89C, v.l. θείου Migne); Sirach, Meth.res.1.26(p.253.16; M. 41.1132B); Thdt.provid.10(4.686); b. S. Paul, Meth.symp.3.1(p.27. 2; M.18.60D); Cyr.Lc.5:27(M.72.569B); c. others possessed of Christian wisdom, Barn.6.10; πίστις δὲ οὐ σοφῶν τῶν κατὰ κόσμον, ἀλλὰ τῶν κατὰ θεόν ἐστιν τὸ κτῆμα Clem.paed.3.11(p.279.17; M.8. 656C); Dial.Ath.et Zacch.44; contrasted with those falsely so called ἀνθρώπους φαύλους...οὐ περὶ τῶν νοητῶν...σοφούς, ἀλλὰ περὶ μόνων τῶν αἰσθητῶν πραγματευσαμένους...εἶναι σοφοὺς τοῦ κόσμου Or.Cels.3.47 (p.243.17f.; M.11.981B); ref. Mt.11:25 εἰπὼν δὲ σοφούς, οὐ τὴν ἀληθινὴν σοφίαν λέγει...ἀλλὰ ταύτην ἣν ἐδόκουν ἀπὸ δεινότητος ἔχειν Chrys. hom.38.1 in Mt.(7.426A); οὔτε τοὺς λεξίθηρας, οὔτε τοὺς ῥήτορας...σ. κλητέον, ἀλλὰ τοὺς ἐπὶ τῇ πρακτικῇ φιλοσοφίᾳ διαλάμποντας Isid.Pel. epp.2.201(M.78.645B).

**σοφόω**, *make wise*, of Father δυναμοῖ...δι' αὐτοῦ [sc. τοῦ υἱοῦ] τὸ ἠσθενηκὸς καὶ σ. τὸ ἀσύνετον Cyr.Is.5(2.778E); σ. [sc. Christ]...τὰ σοφίας δεκτικά id.Jo.5.5(4.542E); νόμῳ σεσοφωμένους [i.e. Jews] id. ador.13(1.468C).

[*]**σοφρονικός**, for σωφρονικός, *temperate*, cat.Apoc.14:8(p.391.1).

**σπαθαρία**, ἡ, *wife of a* σπαθάριος, Thdr.Stud.epp.1.18(M.99.965C).

***σπαθαρικός**, *pertaining to the office of* σπαθάριος or *guardsman*, ‡Jo.D.ep.Thphl.11(M.95.357C).

**σπαθάριος**, ὁ, court dignitary, *member of ceremonial bodyguard*, Thphn.chron.p.154(M.108.420A).

***σπαθαροκανδιδᾶτος**, ὁ, court dignitary, *member of ceremonial guard*, ranking higher than a σπαθάριος, †Gr.II Papa ep.Leon.1(H. 4.2A).

***σπαθαροκουβικουλάριος**, ὁ, *chamberlain of the bodyguard*; honorary title reserved for eunuchs, Chron.Pasch.p.336(M.92.873A).

***σπαθέα**, ἡ, *stroke, thrust* with a sword, Thphn.chron.p.266(M. 108.660B).

***σπαθητής**, ὁ, *squanderer*, Ast.Am.hom.3(M.40.209A).

***σπαθί**, τό, *sword*, Barth.Edess.Agar.(M.104.1433A).

**σπαθίζω**, *beat* ? with the flat of the sword, M.Thdot.3(p.139.17).

**σπαθίον**, τό, 1. dim. of σπάθη, *sword*; equated with ξίφος, Jo. Mal.chron.15 p.387(M.97.576A); Chron.Pasch.pp.382f.(M.92.981A,B); Thphn.chron.p.265(M.108.657C); 2. of things sword-shaped, *small shoot* (here proparoxytone) οὐ βάλλει...καρπόν, εἰ μὴ δύο ἢ τρία σ. ἀπὸ τριῶν ναργελλίων Cosm.Ind.top.11(M.88.445A).

**σπαίρω**, 1. *gasp*; of a newborn infant, Nonn.par.Jo.9:1(M.43. 824A); of one just rescued from water, Max.qu.Thal.65(M.90.765C); 2. *writhe*, ‡Nil.narr.5(M.79.648A).

***σπαλαγμός**, ὁ, ? for σταλαγμός: τρυπᾶται τὸ σπήλαιον ἄνωθεν τῆς κεφαλῆς καὶ τῆς ὄψεώς μου καὶ τοῦ σ. κατερχομένου ἐπλάτυνε τὴν τρύπα⟨ν⟩ τοῦ σπηλαίου V.Mac.B(p.163).

***σπανανδρία**, ἡ, *scarcity of population*, Cyr.hom.pasch.25(5$^2$.300C).

***σπάνη**, ἡ, *scarcity*, Epiph.haer.61.6(p.386.27; M.41.1048C); Gr. Mag.dial.(tr.Zach.)2.21(M.PL.66.171B); Jo.D.hom.10.1(M.96.753B).

***σπανογένειος**, *scanty of beard*; of a demon, A.Barth.7(p.146.24).

**σπανός**, *scanty, sparse*, Jo.Mal.chron.4 p.88(M.97.172C); = σπανοπώγων *with scanty beard*, of prophet Daniel ἦν ἀνὴρ ξηρὸς... καὶ σ. τὴν εἰδέαν, ἀλλ' ὡραῖος ἐν χάριτι ‡Epiph.v.proph.Dan.(M.43. 424C); of abbot Daniel τὸ εἶδος αὐτοῦ...σ., ἐπὶ τοῦ χείλους μόνον ἔχων τρίχας, καὶ εἰς τὸ ἄκρον τοῦ πώγωνος Pall.h.Laus.18(p.58.5; M.34. 1065A).

**σπαραγμός**, ὁ, *rending, dismemberment*, met. ἥ τε βάρβαρος ἥ τε Ἑλληνικὴ φιλοσοφία τὴν ἀΐδιον ἀλήθειαν σπαραγμόν τινα...τῆς ...θεολογίας πεποίηται Clem.str.1.13(p.36.30; M.8.756B); ὑπὸ θεοῦ σπαραχθὲν καὶ εἰς πᾶσαν τὴν γῆν ὑπὲρ τὸν Πενθέως σπαραγμὸν διασπαρὲν Or.Cels.2.34(p.160.30; M.11.856B).

***σπαράκτης**, ὁ, *one who rends in pieces* ἵνα μὴ δοθῇ τὰ ἅγια τοῖς κυσὶ καὶ κακοῖς τοῦ λόγου σπαράκταις Gr.Naz.or.45.16(M.36.645C).

***σπαρακτικός**, *able to rend, tearing*, Cosm.Mel.schol.(M.38.349) in Gr.Naz.carm.2.1.1.5.

**σπαράσσ-ω**, 1. *tear, rend in pieces*, met. τὸ Ἰουδαίων ἔθνος... καταδεδίκασται ὑπὸ θεοῦ σπαραχθὲν Or.Cels.2.34(p.160.29; M.11. 856A); in anger ἀκονέτωσαν οἱ Χριστομάχοι, καὶ ~έτωσαν ἑαυτούς Ath.Ar.2.64(M.26.284B); *separate, tear asunder* natures of Christ, Evagr.h.e.1.2(p.7.4; M.86.2424A) cit. s. διαιρέω; 2. pass., *be convulsed*; with grief, Chrys.hom.29.4 in Rom.(9.725C); with rage, id. hom.4.6 in 1Cor.(10.32E); 3. *extort, wring from*, c. acc., Chrys.hom. 13.5 in 1Cor.(10.115D); ib.11.6(95B); id.hom.4.4 in Tit.(11.755A).

**σπάργανον**, τό, plur., *swathing bands*; 1. *swaddling clothes*, hence ἐκ σπαργάνων, *from the cradle, from infancy*, Or.hom.14.5 in Jer.(p.110.5; M.13.409B); Const.or.s.c.11(p.168.30; M.20.1265B); 2. *grave clothes*, T.Sal.18.37(M.122.1345C; p.58.11n.); Chrys.hom. 63.2 in Jo.(8.378B).

**σπαργαν-όω**, *wrap* in swaddling clothes; also in grave clothes, Chrys.hom.75.3 in Jo.(8.442C); ib.63.2(8.378A); met. τὴν ψυχὴν αὐτῶν ἐσπαργανωμένην ἐστὶν ἰδεῖν...ἐπεὶ οὖν ἀναισθήτως αὐτοὶ διάκεινταί πως νεκροὶ γεγενημένοι id.hom.27.4 in Mt.(7.332D); *enfold* ἐσπαργάνωσε τὸν τῇ ἑαυτοῦ δυνάμει τὴν κτίσιν ἅπασαν ~ώσαντα Chrysipp.enc.in BMV 4(p.342.22).

**σπαργάνωσις**, ἡ, *swathing*, in infancy, met. τὰς πρώτας σ. τῆς οὐρανίου κυήσεως ‡Bas.const.21.4(2.568D; M.31.1400A); of the covering of the brain, Melet.nat.hom.1(M.64.1156D).

**σπαρτέον**, *one must sow*, Clem.paed.2.10(p.208.13; M.8.497B).

**σπάρτη**, ἡ, *plumb-line*, Thdt.h.rel.30(3.1295); met. χηραί τε γυναῖκες...οὐ σπάρτην κατέχουσι βίου Orac.Sib.3.45.

**σπαρτίον**, τό, 1. *cord*, met. τῆς...ἀγάπης τὸ ἀρραγὲς σ. ‡Eust.Laz. 16(p.40.7); 2. *line* of a plummet or of a carpenter's rule θήσω κρίμα εἰς σ. καὶ ⟨δικ⟩αιοσύνην εἰς διαβήτην SM ap.Thdt.Is.28:17(p.113.34).

[*]**σπάρτουλα**, τά, for σπόρτουλα (Lat. *sportula*), legal *fees* νόμους ...περὶ τῶν παρεχομένων σπαρτούλων Jo.Mal.chron.18(M.97.685A, v.l. σπορτούλλων).

**σπάσμα**, τό, *convulsion*; of cosmic upheaval, Gnost.ap.Hipp. haer.5.14(p.108.17; M.16.3167A).

**σπαταλ-άω**, *live softly* or *in excessive comfort* or *indulgence* ὅταν ~ῶσιν ἐπιλανθάνονται τοῦ κυρίου Barn.10.3; ὅσα ~ῶσα ἐπιθυμεῖ ἡ ψυχὴ ἡμῶν οὐκ ἀρκουμένη τοῖς ἀναγκαίοις Clem.str.3.7(p.223.6; M.8. 1161C); παραγγέλλωμεν τὰς ~ώσας τῶν χηρῶν ἐκτὸς εἶναι τοῦ καταλόγου τῶν χηρῶν Chrys.hom.13.4 in 1Tim.(11.624D); of animals, *be over-pampered* πρόβατα...τρυφῶντα καὶ λίαν ~ῶντα Herm.sim.6. 1.6; of luxuriant growth, Cyr.Os.163(3.193B).

**σπατάλιον**, τό, ? *wantonness* οὐκ ἔξεστίν...τρέφειν τὰς τρίχας... καὶ ποιεῖν σισόην, ὅ ἐστιν σ. Const.App.1.3.10.

***σπαταλιστής**, ὁ, *profligate*, Ephr.3.151B; Eus.Al.serm.21.16(M. 86.444A).

***σπάτιον**, τό, (Lat. *spatium*) *track* in race course τὰ ἑπτὰ σ. [sc. represent] τὸν δρόμον καὶ τὴν κίνησιν τῆς ἀστρονομίας τῶν ἑπτὰ ἀστέρων τῆς μεγάλης ἄρκτου Jo.Mal.chron.7 p.175(M.97.281A).

**σπάω**, 1. *draw*; abs., *draw one's sword*, Malchus exc.Rom.4(p.166. 5; M.113.773B); 2. *draw in* air or liquid; met., *imbibe* οἱ...τρανότερον σπάσαντες...τὴν ἀλήθειαν Meth.symp.3.8(p.37.3; M.18.73D); ib.4.5 (p.51.10; 93C); πολλὰ τῆς νόσου ταύτης [i.e. Messalian heresy] σπάσαντα...μοναστήρια Thdt.h.e.4.11.3(3.965).

***σπεῖρας**, τό, *garment*, ref. Mt.13:46 μέχρις ἐσχάτου χιτῶνος καὶ σπείρατος Cosm.Mel.schol.proem.(M.38.345).

**σπείρ-ω**, *sow* seed; 1. met.; a. of action of God ὁ τῆς ἐν ἀνθρώποις γῆς γεωργὸς ὁ ἄνωθεν ~ων...τὰ θρεπτικὰ σπέρματα Clem.str.1.7 (p.24.18; M.8.732B); of Christ, Or.Cels.2.13(p.143.1; M.11.824A); ὡς ~όμενοι ἀναστησόμεθα [sc. οἱ ἐν Χριστῷ πιστοί] Ath.inc.21.2(M.25. 132C); ἔσπειρε τὸν λόγον εἰς τὰς ἐκκλησίας Proc.G.Jos.13:1(M.87. 1024D); cf.Or.hom.16.3 in Jos.(p.397.3; M.12.907C); b. of action of Devil ὁ πονηρὸς...σπουδάζει πολλῶν θεῶν...~αι τὴν ὑπόληψιν Hom. Clem.3.8; c. of action of men, in thoughts ~ατε ἐν ταῖς ψυχαῖς ὑμῶν ἀγαθά T.Lev.13.6; ἐν ψυχαῖς ~ειν τὴν ἀθανατοποιὸν πρὸς αὐτὸν [sc. θεόν]...στοργήν Hom.Clem.3.8; in deeds ~ειν τὰς τοῦ θεοῦ εὐποιΐας Clem.str.2.18(p.165.19; M.8.1040A); id.fr.53(p.225.27); bad deeds ὅταν τὸν νοῦν μὴ ἐγρήγορον ποιήσωμεν...τότε ~ονται ⟨ἐν ἡμῖν⟩ τὰ ἁμαρτήματα Epiph.haer.66.65(p.106.1, v.l. ~όμεθα M.42.132C); of heret. teachers οὓς οὐκ εἰάσατε ~αι εἰς ὑμᾶς Ign.Eph.9.1; 2. Gnost. ὁ σπείρων one of Heracleon's two Sons of Man χαίρει...ὁ ~ων ὅτι ~ει, καὶ ὅτι ἤδη τινὰ τῶν σπερμάτων αὐτοῦ συνάγεται ἐλπίδα ἔχων τὴν αὐτὴν καὶ περὶ τῶν λοιπῶν...ἔδει γὰρ πρῶτον σπαρῆναι, εἶθ' ὕστερον θερισθῆναι...ἀμφότεροι [sc. ὁ μὲν ~ων, ὁ δὲ θερίζων] τὸ ἴδιον ἔργον εὐεργοῦντες ὁμοῦ χαίρουσιν κοινὴν χαρὰν τὴν τῶν σπερμάτων τελειότητα ἡγούμενοι...ὁ μὲν γὰρ ὑπὲρ τὸν τόπον υἱὸς ἀνθρώπου ~ει· ὁ δὲ σωτὴρ ὢν καὶ αὐτὸς υἱὸς ἀνθρώπου, θερίζει Heracleon ap.Or.Jo.13.49(48; p.276.19ff.; M.14.488B,C).

**σπεῖσις**, ἡ, *treaty, agreement*, Pall.v.Chrys.12(p.77.33; M.47.44).

**σπέκλον**, τό, cf. Lat. *lapis specularis*; 1. *mica*, Bas.hex.3.4(1.26A; M.29.61B); 2. *window* of mica ὥσπερ λύχνος διὰ σπέκλων, οὕτως... δεικνύειν...ἀμαυρότερον, οἷον σκοτεινότερον Dor.doct.3.1(M.88.1653B).

**σπεκουλάτωρ**, ὁ, (Lat. *speculator*) 1. member of corps of troops on special duty as messengers, orderlies of governors, etc.; in charge of executions πῶς...σύνοδον ὀνομάζειν τολμῶσιν, ἧς κόμης προυκάθητο καὶ παρῆν σ.; Ath.apol.sec.8(p.94.11; M.25.261D); ὁ...

γράψας αὐτὰ Ῥοῦφός ἐστιν ὁ νῦν ἐν τῇ Αὐγουσταμνικῇ σ. *ib.*83(p.162.21; 397B); *M.Tarach.*1(p.452); **2.** in gen., *executioner*, *A.Paul.*5 (p.115.17); *M.Das.*12.1; *A.Jo.Bapt.*7,9(pp.534,539); σπεκουλάτωρα *Narr.Jo.Bapt.*(p.3).

***σπεκταβίλιος**, (Lat. *spectabilis*) title of high officers under emperor, Ath.Scholast.*coll.*4.4(p.54); *ib.*7.2(p.83).

**σπέρμα, τό,** *seed*; **1.** *offspring, descendants*; met. ἡ ῥίζα τοῦ σ. σου τοῦ πνευματικοῦ...οὐ.. μὴ ἐκλείπῃ *V.Pach.A* 18(p.142.25); **2.** *race, stock*; met. ἐπιμένει ὁ θεὸς τὴν σύγχυσιν...τοῦ...κόσμου... διὰ τὸ σ. τῶν Χριστιανῶν Just.*2apol.*7.1(M.6.456A); **3.** *root* of a number ὀγδοὰς πρῶτος κύβος...σ. αὐτῆς ὁ πρῶτος ἄρτιος Anat.Laod. *decad.*(p.38); **4.** met., of Christ οἱ πιστεύοντες αὐτῷ...ἐν οἷς οἰκεῖ τὸ παρὰ τοῦ θεοῦ σ., ὁ λόγος Just.*1apol.*32.8(M.6.380B); σ. θεῖόν ἐστιν ὁ Χριστός, ὃς ἐνοικῶν ἐν τοῖς πιστοῖς ποιεῖ αὐτοὺς γενέσθαι υἱοὺς θεοῦ *cat.1Jo.*3:9(p.126.30); as origin of eternal life, Thdt.*eran.*2(4.174); **5.** met.; **a.** *seed* of salvation σωτηρίων καὶ ἁγίων σ. Or.*Jo.*20.5(p.333.18; M.14.584D); [Eph.5:27,26] πρὸς ὑποδοχὴν τοῦ νοητοῦ καὶ μακαρίου σ. Meth.*symp.*3.8(p.35.16; M.18.73A); Thdt.*Ps.*95:9(1.1292); **b.** of Christian doctrine οἱ μὲν τὴν ἀληθῆ...σώζοντες...παράδοσιν...ἧκον ...καὶ εἰς ἡμᾶς τὰ...ἀποστολικὰ καταθησόμενοι σ. Clem.*str.*1.1(p.9.8; M.8.700A); *ib.*1.2(p.14.10; 709C); *ib.*7.12(p.57.10; M.9.512A); τὰ σ. τὰ ἅγια, τὸν περὶ τοῦ πατρὸς λόγον...τὸν λόγον τὸν περὶ τῆς ἀναστάσεως κτλ. Or.*hom.5.13 in Jer.*(p.42.7; M.13.313A); εὔκαιρον τὴν τῶν σ. καταβολὴν ποιούμενος [sc. Origen] Gr.Thaum.*pan.Or.*7 (p.20.12; M.10.1076B); ἴσως...ὑποστρέψομεν πρός σε πάλιν, φέροντες ἐκ τῶν σ. καὶ τοὺς καρπούς *ib.*17(p.38.24; 1101A); ὁ μὲν λόγος ὢν προκόσμιος καὶ σωτὴρ τῶν ὅλων λογικὰ καὶ σωτηριώδη σ. τοῖς αὐτοῦ παραδιδοὺς θιασώταις λογικοὺς ἅμα καὶ τῆς τοῦ πατρὸς βασιλείας ἐπιστημονικοὺς ἀπεργάζεται Eus.*l.C.*2(p.199.20; M.20.1325B); of pre-Christian revelation τοῖς προφητικοῖς...λογικοῖς σ. θερισθεῖσιν κατὰ τὴν...κατανόησιν τοῦ κεκρυμμένου μυστηρίου ἀπὸ τῶν αἰώνων Or.*Jo.*13.46(p.273.3; M.14.481B); τῆς θείας διδασκαλίας σπέρματα νομικά, προφητικά, εὐαγγελικά id.*fr.30 in Lc.*9:62(p.247); of all truth, v. ἀλήθεια; **c.** of *seed* of reason, innate power of reason τὸ ἔμφυτον παντὶ γένει ἀνθρώπων σ. τοῦ λόγου Just.*2apol.*8.1(M.6.457A); τὰ λογικὰ καὶ ἥμερα τῆς ἀνθρώπων ψυχῆς σ. Eus.*h.e.*1.2.19(M.20.64A); λόγον εἰώθαμεν καλεῖν καὶ τὸν σπερματικὸν ἢ φυτικόν, καθ' ὃν δυνάμει τὰ μηδέπω φύντα ἐναπόκειται τοῖς σ. id.*e.th.*2.13(p.114.17; M.24.925D); τὸ νοερὸν ἐν ἡμῖν σ. Synes.*insomn.*7(p.158.3; M.66.1293C); ὁ θεὸς οὗ σ. ὁ νοῦς ἐς ἀνθρώπους ἥκει id.*ep.*101(M.66.1469D); **d.** *seed* of virtue, capacity for virtue τοὺς δυνάμει ἔχοντας τὴν ἀρετὴν καὶ τὰ σ. αὐτῆς πάντῃ ἀπολέσαι οὐ δυναμένους Or.*Cels.*4.25(p.294.18; M.11.1064A); τῶν τῆς ἀνδρείας ἐν ἡμῖν σ. *ib.*4.78(p.348.23; 1152A); **6.** diabolic ὁ...ἐχθρὸς ἐν ταῖς πρὸς θεὸν τῆς καρδίας ἐντεύξεσι...φθοροποιὰ ἐπισπείρων σ., τῆς θείας αὐτὴν ἀποσπῶντα ἑνώσεως Andr.Caes.*Apoc.*72(M.106.456C); **7.** Gnost. ὃ προέβαλε...σαρκίον τῷ λόγῳ ἡ Σοφία, τὸ πνευματικὸν σ., τοῦτο στολισάμενος κατῆλθεν ὁ Σωτήρ Clem.*exc.Thdot.*1(p.105.6; M.9.653A); τὸ ὁρατὸν τοῦ Ἰησοῦ ἡ Σοφία καὶ ἡ Ἐκκλησία ἦν τῶν σ. τῶν διαφερόντων, ἣν ἐστολίσατο διὰ τοῦ σαρκίου... ὅταν...αὐτὸς εἰσέρχηται, καὶ τὸ σ. συνεισέρχηται αὐτῷ εἰς τὸ πλήρωμα *ib.*26(p.115.15,20; 672B,C); *ib.*1(p.105.10; 653A) cit. s. ἐκλεκτός; cf.Iren.*haer.*1.6.4(M.7.509A) cit. s. ἐκλογή; of what is innate in the elect τὸ ἐκλεκτὸν σ. φαμὲν...σπινθῆρα ζωοποιούμενον ὑπὸ τοῦ λόγου... οἱ δ' ἀπὸ Οὐαλεντίνου πλασθέντος φασὶ τοῦ ψυχικοῦ σώματος...ἐντεθῆναι ὑπὸ τοῦ λόγου σ. ἀρρενικόν, ὅπερ ἐστὶν ἀπόρροια τοῦ ἀγγελικοῦ Clem.*exc.Thdot.*1–2(pp.105.12,106.1; 653A); *ib.*21(p.113.22; 668C); πρῶτον οὖν σ. πνευματικὸν τὸ ἐν τῷ Ἀδὰμ προέβαλεν ἡ Σοφία, ἵνα ᾖ...ἡ λογικὴ καὶ οὐρανία ψυχή *ib.*53.5(p.124.25; 685A); as primordial element of cosmos (Ophite) λέγουσιν...περὶ τῆς τοῦ σ. οὐσίας, ἥτις ἐστὶ πάντων τῶν γινομένων αἰτία Hipp.*haer.*5.7(p.84.14; M.16.3134C); τὰ ἀπὸ τοῦ ἀχαρακτηρίστου εἰς τὸν κόσμον κατεσπαρμένα σ., δι' ὧν ὁ πᾶς συντελεῖται κόσμος *ib.*5.8(p.94.15; 3147B); κατενηνέχθαι...φησὶν ἀπὸ τῶν ὑπερκειμένων κόσμων δύο...εἰς τοῦτον τὸν κόσμον...παντοίων δυνάμεων σπέρματα *ib.*5.12(p.105.10; 3162B); (Basilides) of form taken by primordial cosmos ⟨ὁ⟩ οὐκ ὢν θεὸς...κόσμον ἠθέλησε ποιῆσαι... ἀθελήτως·...κόσμον δὲ οὐ τὸν κατὰ πλάτος καὶ διαίρεσιν γεγενημένον ὕστερον καὶ διεστῶτα, ἀλλὰ γὰρ σπέρμα κόσμου. τὸ δὲ σ. τοῦ κόσμου πάντα εἶχεν ἐν ἑαυτῷ, ὡς ὁ τοῦ σινάπεως κόκκος *ib.*7.21(p.197.2ff.; 3303B); ἐγεννήθη ἀπὸ τοῦ κοσμικοῦ σ. ... ὁ μέγας ἄρχων *ib.*7.23(p.200.25; 3310B); (Docetae) God likened to σ. συκῆς *ib.*8.8(p.226.7; 3347C); out of which come all things τρία οὖν εἶναι δοκοῦμεν τὰ πρώτως ὑπὸ τοῦ σ. γενόμενα τοῦ συκίνου· πρέμνον, ὅπερ ἐστὶν ἡ συκῆ, φύλλα καὶ καρπός, τὸ σῦκον...οὕτως, φησί, τρεῖς γεγόνασιν αἰῶνες, ἀπὸ τῆς πρώτης ἀρχῆς τῶν ὅλων ἀρχαί...αὐτοὶ πάντα τοῖς γενητοῖς πᾶσιν ἐπήρκεσαν καὶ ἐπαρκοῦσι *ib.*(p.226.19; 3350A); *ib.*8.9(p.228.1; 3351A) cit. s. ἰσοδύναμος.

**σπερμαίνω,** *fertilize*; of the female, *bear*, Eudoc.*Cypr.*1.165(M.85.837D).

**σπερματικός,** *of, for* or *from seed, seminal*, whether of plants or mankind; **1.** *in seed-form, germinal* ἐπεὶ δὲ τὰ μὲν ἐξ ἀγεννήτου καὶ ἀφθάρτου γέγονεν, τὰ σ. ζωῆς, ⟨συνάγεται ὡς⟩ ὁ πυρὸς καὶ ἀποτίθεται· τὸ δὲ ὑλικόν, μέχρι σύνεστι τῷ κρείττονι, μένει Clem.*ecl.*25 (p.143.31; M.9.709B); θεὸν τὸν χορηγὸν τῶν σ. καὶ τῆς ἐπιδόσεως τῶν αὐξήσεων Epiph.*haer.*76.26(p.374.33; M.42.569B); met., *pregnant* σ. τινα προκαταβάλλεται λόγον ἐνταῦθα, ὃν ὕστερον ἀναπτύσσειν μέλλει Chrys.*hom.11.3 in Rom.*(9.534D); **2.** λόγος σπερματικός, *Seminal Word, Universal Reason, Generative Principle*, power by which, and material from which, all things come into being; also *generative principle* of individual substances (as comprehended in Universal Reason or Generative Principle) according to which they are what they are; almost their *matter and form*; **a.** Stoic εἰ... ὁ...θεὸς πῦρ τεχνικὸν ὁδῷ βαδίζον ἐπὶ γενέσει κόσμου ἐμπεριειληφὸς ἅπαντας τοὺς σ. λόγους καθ' οὓς ἕκαστα καθ' εἱμαρμένην γίγνεται Athenag.*leg.*6.4(M.6.904A); λέγει [sc. Chrysippus]...ὅτι τοὺς σ. λόγους τοῦ θεοῦ ἡ ὕλη παραδεξαμένη ἔχει ἐν ἑαυτῇ εἰς κατακόσμησιν τῶν ὅλων Or.*Cels.*4.48(p.321.9; M.11.1108A); ἀνάγκη τοὺς πρώτους [sc. ἀνθρώπους] γεγονέναι...ἀπὸ γῆς, σ. λόγων συστάντων ἐν τῇ γῇ *ib.* 1.37(p.89.4; 732A); **b.** adopted by some Christian writers, with modifications: in physical realm σ. denotes *in the course of nature, natural*; thus λόγος σ. comes to mean *law(s) of nature* and λόγος σ. of an individual, the *law of one's nature*, or *life-force* ὁ σ. λόγος ἐν τῷ κόκκῳ τοῦ σίτου δραξάμενος τῆς παρακειμένης ὕλης καὶ δι' ὅλης αὐτῆς χωρήσας...τοῦ αὐτοῦ εἴδους ὧν ἔχει δυνάμεων ἐπιτίθησι...καὶ νικήσας τὰς ἐκείνων [sc. material elements] ποιότητας μεταβάλλει ἐπὶ ταύτην, ἧς ἐστιν αὐτὸς δημιουργός Meth.*res.*1.24(p.249.13; M.41.1096A); βουληθεὶς ὁ θεὸς θεῖόν τινα διδάσκαλον πέμψαι τῷ γένει τῶν ἀνθρώπων, πεποίηκεν ἀντὶ σ. λόγου τοῦ ἐκ μίξεως τῶν ἀρρένων ταῖς γυναιξί, ἄλλῳ τρόπῳ γενέσθαι τὸν λόγον τοῦ τεχθησομένου Or.*Cels.* 1.37(p.88.28; M.11.732A); Eus.*e.th.*2.13(p.114.16; M.24.925D) cit. s. σπέρμα; οἱ σ. λόγοι, οἱ παρὰ τοῦ δημιουργοῦ ἐξαρχῆς ταῖς φύσεσιν ἐντεθέντες, ὑποτυφόμενοι, εἰ ἀναρριπισθεῖεν, σπινθήρων τρόπον... ἐξάπτεσθαι φιλοῦσιν Isid.Pel.*epp.*2.119(M.78.560B); derived by physical heredity κατὰ τὰ σωματικὰ ἀπὸ πολλῶν σπερμάτων προκύπτει μᾶλλον ἐνεργήσει δυνηθὲν ἔσθ' ὅτε ἓν τῶν σπερμάτων...ὅτε μὲν κρατεῖ ὁ αὐτοῦ λόγος καὶ ἀποτίκτεται τὸ γεννώμενον τῷ σπείροντι ὅμοιον, ὅτε δὲ ὁ λόγος τοῦ ἀδελφοῦ τοῦ σπείροντος κτλ. ... κατὰ τοὺς ἐν ταῖς μίξεσι βρασμοὺς ἅμα πάντων σειομένων, ἕως ⟨ἂν⟩ ἐπικρατήσῃ τις τῶν σ. λόγων Or.*Jo.*20.5(p.333.8; M.14.584C); in spiritual sphere, *innate character* or *principle*, in all men λόγον δέ φημι οὐ τὸν ἐν ἑκάστῳ τῶν γενομένων συμπεπλεγμένον καὶ συμπεφυκότα, ὃν δὴ καὶ σ. τινες εἰώθασι καλεῖν, ἄψυχον ὄντα καὶ μηδὲν λογιζόμενον...ἀλλὰ τῇ ἔξωθεν τέχνῃ μόνον ἐνεργοῦντα κατὰ τὴν τοῦ ἐπιβάλλοντος αὐτὸν ἐπιστήμην· οὐδὲ οἷον ἔχει τὸ λογικὸν γένος λόγον τὸν ἐκ συλλαβῶν συγκείμενον...ἀλλὰ τὸν τοῦ ἀγαθοῦ...θεοῦ ζῶντα καὶ ἐνεργῆ θεὸν αὐτολόγον λέγω Ath.*gent.*40(M.25.81A); in virtue of which we love God ἀδίδακτος μὲν ἡ πρὸς τὸν θεὸν ἀγάπη...ὁμοῦ τῇ συστάσει τοῦ... ἀνθρώπου...σ. τις λόγος ἡμῖν ἐγκαταβέβληται, οἴκοθεν ἔχων τὰς ἀφορμὰς τῆς πρὸς τὸ ἀγαπᾶν οἰκειώσεως Bas.*reg.fus.*2.1(2.336C; M.31.908C); acc. Origen not universal and may be acquired from teachers τὴν πεπληρωμένην ψυχὴν νοητῶν σπερμάτων, ἐληλυθότων ἀπό τινων ὀνομαζομένων πατέρων αὐτῆς καὶ...προκυπτέτωσαν οἱονεὶ σπερματικοί τινες τῶν πατέρων λόγοι *Jo.*20.5(p.333.12; M.14.584C); ἐπεὶ...ἀπὸ ἤθους κρίνεται καὶ ἔργων τὰ τέκνα τοῦ Ἀβραάμ, μήποτε ἀπό τινων σ. λόγων, συγκαταβαλλομένων τισὶν...ψυχαῖς, δεῖ χαρακτηρίζειν τοὺς ὄντας σπέρμα τοῦ Ἀβραάμ. καὶ εἴπερ, ὡς κατὰ τὸ σωματικὸν οὐ πάντες ἄνθρωποι σπέρμα εἰσὶν τοῦ Ἀβραάμ, οὕτω...δῆλον ὅτι οὐ πάντες ἄνθρωποι μετὰ πάντη σ. λόγων τῶν [αὐτῶν] ἐγκατασπαρέντων αὐτῶν ταῖς ψυχαῖς τῷ βίῳ τῶν ἀνθρώπων ἐπιδεδημήκασιν *ib.*20.2 (p.328.6ff.; 573C); but, once possessed may be cultivated τοῦτο νοητέον περὶ τοῦ σπέρματος τοῦ Σὴμ καὶ Νῶε καὶ τῶν ἀνωτέρω δικαίων, ὧν τὰς ἰδιότητας σπερματικῶς δοκοῦσιν κοινῇ ἀνειληφέναι εἰς γένεσιν ἐρχόμενοι Ἀβραὰμ καὶ Ναχὼρ καὶ Ἀρράμ· ἀλλ' ὁ μὲν Ἀβραὰμ γεγεωργηκέναι οὓς εἶχεν ἐν ἑαυτῷ σ. λόγους πάντων τῶν πρὸ αὐτοῦ δικαίων *ib.*20.3(p.330.6; 577B); **c.** in Justin ὁ λόγος σ. is divine Word of whom all partake in different measure; σπέρμα τοῦ λόγου or σ. λόγου μέρος is therefore *innate right reason, immanent revelation*, though full knowledge comes only with Christian revelation ἕκαστος γάρ τις [sc. of philosophers] ἀπὸ μέρους τοῦ σ. θείου λόγου τὸ συγγενὲς ὁρῶν καλῶς ἐφθέγξατο *2apol.*13.2(M.6.465B); οὐ κατὰ σ. λόγου μέρος ἀλλὰ κατὰ τὴν τοῦ παντὸς λόγου, ὅ ἐστι Χριστοῦ, γνῶσιν *ib.*8.3(457B); cf. διὰ τὸ ἔμφυτον παντὶ γένει ἀνθρώπων σπέρμα τοῦ λόγου *ib.*8.1(457A); διὰ τῆς ἐνούσης ἐμφύτου τοῦ λόγου σπορᾶς *ib.*13.5

(468A); οἱ πιστεύοντες...ἐν οἷς οἰκεῖ τὸ παρὰ τοῦ θεοῦ σπέρμα, ὁ λόγος id.*1apol.*32.8(M.6.380B).

**σπερματικῶς**, 1. *in seed-form, germinally*, a. in gen. τῷ δὲ ἀνθρώπῳ ἐπιδοθέντα τὰ ὑπ' αὐτὸν ὄντα καὶ σὺν αὐτῷ σ. εἰς δεσποτείαν, οὐ τέλεια παρεδόθη Epiph.*haer.*76.26(p.374.10; M.42.568C); παρέδωκεν αὐτῷ σ. τὴν γῆν...ἵνα...τὰ σ. δι' ἑαυτοῦ μετὰ συνέσεως ἐπὶ γῆν καταβαλλόμενα...τὰ τῆς ἐπιδόσεως τοῦ τελείου θεοῦ πρὸς αὔξησιν προσδέχηται *ib.*(p.374.14ff.; 568D,569A); b. ref. innate characters, qualities, or faculties κατὰ τὴν τελείωσιν τοῦ σ. ἐγκειμένου κατὰ τὰς ἐννοίας ἡμῖν λόγου Or.*Jo.*13.41(p.267.25; M.14.472D); *ib.*20.3(p.330.4; 577B) cit. s. σπερματικός; *Hom.Clem.*17.18; ὁ νόμος τῶν σ. ἐνυπαρχουσῶν ἡμῖν δυνάμεων γεωργός ἐστι καὶ τροφεύς Bas.*reg.fus.*3.1(2.340B; M.31.916D); ἔδει τὸν σῖτον εἰς τὸν λόγον μεταλαμβάνειν σ. ὑμῶν ἐγκείμενον ταῖς ψυχαῖς †Bas.*Is.*29(1.402B; M.30.176A); c. *in seed form*; *as seed for further thought*, Clem.*paed.*3.12(p.288.3; M.8.673B); id.*str.*7.14 (p.60.2; M.9.516D); εἰ οὐδὲν τῶν ἀοράτων αὐτὸ ἑαυτοῦ σ. προϋπάρχει Aët.ap.Epiph.*haer.*76.48(p.401.24; M.42.616D); d. theol. κατὰ τὸ πάθος ἢ ἀπορροὴν...τὸν υἱὸν μὴ σ. καταβεβλημένον...τελειοῦσθαι CAnc. (358)*ep.syn.*ap.Epiph.*haer.*73.4(p.272.20; M.42.409A); εἰ σ. ἦν ἐν τῷ ἀγεννήτῳ θεῷ τὸ γέννημα Aët.*ib.*76.26(p.373.7; 565D); 2. *like seeds* τὰ διὰ τῶν...αἰσθήσεων ἐμπεσόντα σ. ἀκανθῶν δίκην ὑποβλαστάνειν ἄρχεται Nil.*praest.*14(M.79.1077A); 3. Gnost., *as by a generative principle* Ἰωάννης...ἀρχήν τινα ὑποτίθεται τὸ πρῶτον γεννηθὲν ὑπὸ τοῦ θεοῦ ὃν δὴ καὶ υἱὸν μονογενῆ καὶ θεὸν κέκληκεν, ἐν ᾧ τὰ πάντα ὁ πατὴρ προέβαλε σ. Val.Gn.ap.Iren.*haer.*1.8.5(M.7.532B); cf. οἵτινές εἰσι λόγοι ἄνωθεν κατεσπαρμένοι...εἰς τοῦτον τὸν κόσμον, κατοικοῦντες ἐν ⟨σώμα⟩τι χοϊκῷ μετὰ ψυχῆς Hipp.*haer.*6.34(p.163.16; M.16.3246D); *ib.*6.43(p.175.12; 3263B).

***σπερματίς**, ἡ, ? for σπερματῖτις fem. adj. *seminal, spermatic*; of veins, Clem.*paed.*1.6(p.119.5; M.8.308A).

**σπερματισμός**, ὁ, *fertilization*, met. οἱ δαίμονες σπεύδουσιν ὑπαγαγεῖν αὐτὴν [sc. ἀγαθὴν σύνεσιν] τοῖς σ. τοῦ ἄρχοντος αὐτῶν †Cyr. *coll.VT*(6⁴.2E; M.77.1177C); id.*ador.*1(1.13A).

***σπερματιστής**, ὁ, *fertilizing male*, Cyr.*thes.*15(5¹.148D).

**σπερματώδης**, *cereal* σ. ... βρώματος ‡Bas.*const.*25(2.575E; M.31.1413D).

***σπερμοβόρος**, *vegetarian*, ‡Caes.Naz.*dial.*147(M.38.1096).

***σπερμογονία**, ἡ, *generation by seed*, ‡Ath.*doct.Ant.*51(M.28.629C).

***σπερμογονικός**, *reproducing by seed*, Anast.S.*qu.et resp.*96(M.89.749A).

**σπερμογόνος**, = foreg., ‡Gr.Naz.*astron.*(M.36.677A).

**σπερμολογ-έω**, *pick up seeds* like a bird; hence, met., *pick up scraps of knowledge* πολλὰ δ' ἂν ἔτι πρὸς τούτοις ~ήσαις, εἰ βούλοιο συντιθέναι τὸν ὁμώνυμόν σου θεόν Gr.Naz.*or.*29.18(p.101.7; M.36.97B).

***σπερμοσφαγία**, ἡ, *murder of kindred*, *cat.Jud.*2:11(p.164.5).

***σπερμοφαγία**, ἡ, *vegetarian diet*, Gr.Nyss.*mart.*(M.46.780).

***σπέτλον**, τό, cf. σπέκλον, *window* οὐκ εἴασεν ἐν τῷ μοναστηρίῳ αὐτοῦ, οὐ θύραν, οὐ θυρίδα, οὐ σ. Jo.Mosch.*prat.*184(M.87.3056C).

**σπήλαιον**, τό, *grotto, cave*; esp. of Nativity at Bethlehem ἐν...σ. τινὶ σύνεγγυς τῆς κώμης κατέλυσε καὶ...ἐτετόκει ἡ Μαρία τὸν Χριστόν Just.*dial.*78.5(M.6.657D); δείκνυται τὸ ἐν Βηθλεὲμ σ., ἔνθα ἐγεννήθη, καὶ ἡ ἐν τῷ σ. φάτνη, ἔνθα ἐσπαργανώθη Or.*Cels.*1.51(p.102.12f.; M.11.756A); σ.; ἀλλ' οὐδέποτε τῷ θρόνῳ ἡ τριὰς ἐνέλειψεν Procl.CP *or.*5.2 (M.65.717C); Thdt.*Joel* 2:30f.(2.1400); id.*affect.*8(p.198.4; 4.901); as place of burial ἐν ἑνὶ σπηλέῳ κατάκιντε *MAMA* 1.235; *A.Jo.Bapt.* 10(p.540); met., of an oratory σ. ἄλλο καὶ φάτνην θεηδόχον Geo.Pis. *carm.*41.1(p.54).

[*]**σπήλεον**, τό, v. σπήλαιον.

***σπηλοδίαιτος**, ὁ, *one who dwells in a cave*, Steph.Diac.*v.Steph.* (M.100.1113C) cit. s. ὀρεόμονες.

**σπῆλυγξ**, ἡ, *cave*, met. ψυχὴ...φάος σπήλυγγι καλυφθὲν Gr.Naz. *carm.*1.1.8.2(M.37.446A); φωλεοὺς καὶ σ. (οὕτω γὰρ εἴποιμι τὰς τῶν αἱρέσεων συνελεύσεις) Epiph.*haer.*52.2(p.312.28; M.41.956C).

***σπῆτι**, τό, v. σπίτι.

***σπιθαμήσιος**, *a span long, measuring a span*, ‡Ath.*Melch.*(M.28.528D).

***σπιλολογέω**, *stain*, Ast.Soph.*Ps.*6(M.40.457B).

**σπῖλος**, ὁ, *spot*; met., *stain*, on virginity μὴ προσιεμένης...κηλῖδα καὶ σ. Meth.*symp.*5.8(p.63.7; M.18.112B); of guilt or sin κοινὸς δὲ σ. ἐστιν αὐτοῖς, ὅτι τὴν αἵρεσίν εἰσι Χριστομάχοι Ath.*fug.*27(p.86.9; M.25.677C); Gr.Nyss.*or.catech.*36(p.139.11; M.45.92D); *Const.App.*7.40.1; γῆ ἐσείετο [sc. at Crucifixion], δεσποτικῷ περιρραινομένη αἵματι, τῶν εἰδωλικῶν λύθρων ἐκτινασσομένη τὸν σ. Jo.D.*hom.*4.21(M.96.620A); Pall.*h.Laus.*proem.(p.9.8; M.34.1002).

**σπιλ-όω**, *mark, stain, soil*; met., the soul by sin ἄλλους καθαίρων αὐτὸς ἐσπιλωμένος Gr.Naz.*carm.*2.1.12.478(M.37.1200A); Cyr.*ador.*6 (1.196A); κἀκείνων αἰτεῖσθαι συγχώρησιν οἷς ἐγκαυχᾶται...~ούμενος Max.*qu.Thal.*57(M.90.592B); cf. τὸ ~ωθὲν μέρος τοῦ τῆς ἐκκλησίας χιτῶνος Gr.Nyss.*hom.7 in Eccl.*(M.44.725D); the image of God ὁ Ἀδάμ...τὸ πρόσωπον τῇ παρακοῇ ἐσπίλωσε Chrys.*exp.in Ps.*3:1(5.4A); the mind by error, *Hom.Clem.*8.9.

**σπίλωμα**, τό, *defilement, stain*; met., of sin φόβος θεοῦ, πάντα ἐξελήλαται τὰ τοῦ πάθους σ. ἐκ τῆς διανοίας ἡμῶν ‡Gr.Nyss.*or.2 in Gen.1*:26(M.44.289C).

**σπινθήρ**, ὁ, 1. *spark*, behaviour likened to that of σπερματικοὶ λόγοι in human souls σπινθήρων τρόπον ἐν ὕλῃ κατὰ τὰς τῶν χρόνων συναυξήσεις ἐξάπτεσθαι φιλοῦσιν Isid.Pel.*epp.*2.119(M.78.560B); as image of power of H. Ghost, Cyr.*Jo.*4.1(4.340D) cit. s. ἐγκαταχώννυμι; met.; a. of light or fire, in good sense, of Origen's zeal οἷος οὖν τις σ., ἐνσκήψας μέσῃ τῇ ψυχῇ ἡμῶν, ἀνήπτετό τε καὶ ἐξεκαίετο Gr.Thaum.*pan.Or.*6(p.17.1; M.10.1072A); ὁ Παῦλος...πανταχοῦ ῥίψας τοὺς σ. τῆς πίστεως Ast.Am.*hom.*8(M.40.293A); εὐσεβείας σπινθὴρ *Const.App.*8.2.2; ἐν Πτολεμαΐδι τὸν ἐνόντα σμικρὸν ἔτι τῆς ὀρθοδοξίας σ. θάλψαι Synes.*ep.*67(M.66.1417A); Sophr.H.*v.Anast.*(M.92.1689B) cit. s. ἐγκρύφιος; b. of fire, in bad sense, of dissension κἀκ τῆς τῶν διαφορῶν συγκρούσεως σ. τε καὶ φλόγες ἐξανίστανται Const.ap.Eus. *v.C.*3.60(p.108.22; M.20.1133A); of jealousy ὄψις μόνη τοῦ διαφθονουμένου οὐ μικρὸν τοῖς βασκαίνουσιν ἐνιέναι σ. Apoll.ap.*cat.Jo.*5:12 (p.231.1); of unredeemed element ἐνέμεινέ τι [sc. in Saul] τοῦ παλαιοῦ τῆς κακίας σ. καὶ τοῦ πονηροῦ σπέρματος Gr.Naz.*or.*9.2(M.35.821A); of desire μή πού τις σ. τῆς ἐπιθυμίας ἐκείνης ἐντυφόμενος λάθῃ Chrys.*sac.*3.11(p.67.17; 1.388E); of falsehood opp. λαμπηδών of truth, Procl.CP *or.*6.15(M.65.749C); 2. Gnost.; a. of spark of life which acc. Saturninus raised man upright after his creation μὴ δυναμένου [sc. τοῦ ἀνθρώπου] ἀνορθοῦσθαι...ἡ ἄνω δύναμις...ἔπεμψε σπινθῆρα ζωῆς, ὃς διήγειρε τὸν ἄνθρωπον καὶ ζῆν ἐποίησε· τοῦτον οὖν τὸν σ. τῆς ζωῆς μετὰ τὴν τελευτὴν ἀνατρέχειν πρὸς τὰ ὁμόφυλα λέγει Iren. *haer.*1.24.1 ap.Hipp.*haer.*7.28(M.16.3322B); b. that which dwelt in Valent. 'elect' τὸ ἐκλεκτὸν σπέρμα φαμὲν καὶ σ. ζωπυρούμενον ὑπὸ τοῦ λόγου Clem.*exc.Thdot.*1(p.105.12; M.9.653A); ὁ Σωτὴρ τὴν ψυχὴν ἐξύπνισεν...καὶ μετὰ τὴν ἀνάστασιν...ἐξῆπτε...τὸν σ. καὶ ἐζωπύρει *ib.* 3(p.106.12; 656A); (Sethian) element belonging to good Principle of Light βιάζεται κατέχειν εἰς ἑαυτὸ...⟨τὸν⟩ σ. τοῦ φωτὸς...ὡς ἀντιποιεῖται τὸ σκότος...ἵνα ἔχῃ τὸν σ. δουλεύοντα καὶ βλέπῃ Hipp. *haer.*5.19(p.117.16,20; M.16.3179C,D); νοῦν· τὸν ἄνωθεν σ. κάτω ἀναμεμιγμένον *ib.*10.11(p.272.3; 3426A); 3. ? *sparkle, gleam* ἐπὶ χροῒ πέπλα βαλόντες, Σιδονίης στίλβοντα σοφῷ σ. θαλάσσης Nonn.*par.Jo.* 19:2(M.43.897B).

***σπινθηράκιον**, τό, *tiny spark*, Gr.Nyss.*virg.*10(p.289.23; M.46.361A).

***σπινθηρακώδης**, *like a spark*, Gr.Mag.*dial.*(tr.Zach.)2.8(M.*PL.* 66.151C).

***σπινθηρισμός**, ὁ, *emission of sparks*, *A.Phil.*102(p.39.30).

***σπινθηροβόλος**, *emitting sparks*, ‡Chrys.*Laz.et div.*1(8.114A).

**σπινθηροειδής**, *like a spark*, met. παρελθὸν τὸ φῶς ἀπὸ σ. τρόπου προσέθετο φαιδρότητι λύχνου φανέντος ἐν αὐχμηρῷ τόπῳ Epiph.*haer.* 66.64(p.104.11; M.42.129B); ἐναύσματά τινα σ. δοκεῖν εἶναι τὰ ῥήματα Gr.Nyss.*hom.3 in Cant.*(M.44.821B).

***σπίτι**, τό, (Lat. *hospitium*) *house, dwelling*, *Apoc.BMV*(Vassiliev p.127); σπῆτι Barth.Edess.*Agar.*(M.104.1425D).

**σπλαγχνίζω**, med. with aor. pass., *feel pity* for, *have compassion* on σ. [sc. ὁ θεός] ἐπὶ τὴν ποίησιν αὐτοῦ Herm.*mand.*9.3; ἐσπλαγχνίσθη ἐπὶ πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ id.*sim.*9.14.3; ἄνθρωπος σ. εἰς τὸν πλησίον αὐτοῦ *T.Zab.*8.3; σ. ἡμῶν Ephr.3.396F; σ. σοι Jo. Mosch.*prat.*186(M.87.3064C); abs., Herm.*sim.*7.4.

**σπλαγχνικός**, *merciful, compassionate*, v.l. in *1Apoc.Jo.*9(p.77).

**σπλαγχνισμός**, ὁ, *feeding on the inwards of a sacrifice* ἔγραψε ψήφισμα...ἅπαντας ἐπιθύειν...τοὺς δὲ μὴ βουλομένους ὑποτάσσεσθαι, τούτους μετὰ σ. καὶ ἐτασμῶν καὶ βασάνων ἀναιρεῖσθαι Hipp.*antichr.* 49(p.33.7).

**σπλάγχνον**, τό, 1. *inward parts*; met., of God in rel. to generation of Son οὐ γὰρ ζημίᾳ τινὶ τῶν πατρῴων σ. συνέστη τὸ γεννηθὲν Const.*or.s.c.*3(p.156.13; M.20.1240A); 2. plur., *children*, one's *flesh and blood* ὁ πολύπαις [sc. Job] ἐξαίφνης ἄπαις ἐγένετο, καὶ οὐδὲ κατὰ μικρὸν αὐτῷ τὰ σ. ἀνηλίσκετο, ἀλλ' ἀθρόον ἅπας ὁ καρπὸς ἀνηρπάζετο Chrys.*hom.28.3 in 1Cor.*(10.253E); id.*hom.10.4 in 2Cor.*(10.511B); met., ref. children in the faith, spiritual sons, Thdt.*Philm.*12(3.715); 3. usu. plur., *seat of the emotions* and *affections*; hence *mercy, compassion*; a. divine ἕως ἐπισκέψεται κύριος πάντα τὰ ἔθνη ἐν σπλάγχνοις αὐτοῦ *T.Lev.*4.4; καὶ διασπερεῖ αὐτοὺς κύριος...ἄχρις οὗ ἔλθῃ τὸ σ. κυρίου *T.Neph.*4.5; ὁ...πατὴρ ἔχει σ. ἐπὶ τοὺς φοβουμένους αὐτόν *1Clem.*23.1; 'ὁ μὴ φιλῶν...τὸν ἀδελφὸν ἀνθρωποκτόνος ἐστί'...